δίκαιον τὸ ἀντιπεπονθὸς, κατ' ἀναλογίαν, A καὶ μὴ κατ' ἰσότητα· τῷ ἀντιποιεῖν γὰρ ἀνάλογον συμμένει ἡ πόλις· ἢ γὰρ τὸ κακῶς ζητοῦσιν· εἰ δὲ μὴ, δουλεία δοκεῖ εἶναι, εἰ μὴ ἀντιποιήσει· ἢ τὸ εὖ· εἰ δὲ μὴ, μετάδοσις οὐ γίνεται· τῇ μεταδόσει δὲ συμμένουσι. διὸ καὶ Χαρίτων ἱερὸν ἐμποδὼν ποιοῦνται, ἵνα ἀνταπόδοσις ᾖ· τοῦτο γὰρ χάριτος ἴδιον. ἀνθυπηρετῆσαι γὰρ δεῖ τῷ χαρισαμένῳ, καὶ πάλιν αὐτὸν ἄρξαι χαριζόμενον. ποιεῖ δὲ τὴν B ἀντίδοσιν τὴν κατ' ἀναλογίαν, ἡ κατὰ διάμετρον σύζευξις· οἷον οἰκοδόμος ἐφ' ᾧ α, σκυτοτόμος ἐφ' ᾧ β, οἰκία ἐφ' ᾧ γ, ὑπόδημα ἐφ' ᾧ δ.

| α | β |
|---|---|
| οἰκοδόμος | σκυτοτόμος. |
| γ | δ |
| οἰκία | ὑπόδημα. |

δεῖ οὖν λαμβάνειν τὸν οἰκοδόμον παρὰ τοῦ C σκυτοτόμου τὸ ἐκείνου ἔργον, καὶ αὐτὸν ἐκείνῳ μεταδιδόναι τὸ αὑτοῦ. ἐὰν οὖν πρῶτον ᾖ τὸ κατὰ τὴν ἀναλογίαν ἴσον, εἶτα τὸ ἀντιπεπονθὸς γένηται, ἔσται τὸ λεγόμενον. εἰ δὲ μὴ, οὐκ ἴσον, οὐδὲ συμμένει. οὐθὲν γὰρ κωλύει κρεῖττον εἶναι τὸ θατέρου ἔργον, ἢ τὸ θατέρου. δεῖ οὖν δὴ ταῦτα ἰσασθῆναι. ἔστι δὲ τοῦτο καὶ ἐπὶ D τῶν ἄλλων τεχνῶν· ἀνῃροῦντο γὰρ ἄν, εἰ μὴ ἐποίει τὸ ποιοῦν, ὅσον καὶ οἷον, καὶ τὸ πάσχον ἔπασχε τοῦτο, καὶ τοσοῦτον καὶ τοιοῦτον. οὐ γὰρ ἐκ δύο ἰατρῶν γίνεται κοινωνία, ἀλλ' ἐξ ἰατροῦ καὶ γεωργοῦ, καὶ ὅλως ἑτέρων καὶ οὐκ ἴσων· ἀλλὰ τούτους δεῖ ἰσασθῆναι. διὸ πάντα συμβλητὰ δεῖ πως εἶναι, ὧν ἐστὶν ἀλλαγή· ἐφ' ὃ τὸ νόμισμ' ἐλήλυθε· καὶ γίνεταί πως μέσον. πάντα γὰρ μετρεῖ. ὥστε καὶ τὴν ὑπεροχὴν καὶ E τὴν ἔλλειψιν, πόσα ἄττα δὴ ὑποδήματα ἴσον οἰκίᾳ, ἢ τροφῇ. δεῖ τοίνυν ὅπερ ὁ οἰκοδόμος πρὸς σκυτοτόμον, τοσαδὶ ὑποδήματα πρὸς οἰκίαν, ἢ τροφήν. εἰ γὰρ μὴ τοῦτο, οὐκ ἔσται ἀλλαγὴ, οὐδὲ κοινωνία. τοῦτο δ', εἰ μὴ ἴσα εἴη πως, οὐκ ἔσται. δεῖ ἄρα ἑνί τινι πάντα μετρεῖσθαι, ὥσπερ ἐλέχθη πρότερον. τοῦτο δ' F ἐστὶ, τῇ μὲν ἀληθείᾳ ἡ χρεία, ἣ πάντα συνέχει· εἰ γὰρ μηδὲν δέοιντο, ἢ μὴ ὁμοίως, ἢ οὐκ ἔσται ἀλλαγὴ, ἢ οὐχ ἡ αὐτή. οἷον δ' ὑπάλλαγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην· καὶ διὰ τοῦτο τοὔνομα ἔχει νόμισμα,

conseruat rem, si ex proportione, non ex æqualitate existat. contra enim faciendo ex proportione ciuitas continetur. Vel enim dant operam homines vt malum reddant, alioqui esse seruitus videtur, nisi par pari referatur: vel vt bonum recipiant, alioqui nulla fiet participatio: participatione autem ciuitates consistunt ac continentur. vnde etiam Gratiarum templum obuiam statuunt, vt retributio efficiatur. quippe cùm id proprium Gratiarum sit, vt & ei qui nobis gratificatus est vicissim inseruiamus: & ipse rursus gratificando nos prouocet. Coniunctio autem quæ per diametrum fit, retributionem hanc facit, quæ constat proportione. exempli gratia,

| A | B |
|---|---|
| *Ædificiorum opifex* | *Sutor* |
| C | D |
| *Domus* | *Calceus* |

oportet igitur vt ædificator à sutore opus ipsius accipiat, & ipse suum illi tradat. Quòd si primum sit æquum ex proportione, deinde retaliatum efficiatur, erit id quod dicimus: sin minus, æquum non erit, neque consistet. nihil enim vetat quo minus opus alterius alterius opere præstabilius sit. quocirca adæquanda ea sunt. Est autem hoc in aliis quoque artibus: tollerentur enim, nisi & quod facit, & quantum & quale faceret: & quod eo afficitur, & tanto & tali afficeretur. Non enim ex duobus medicis societas fit, sed ex medico & agricola: & demum diuersis & non æqualibus: sed hi tamen adæquandi sunt. Idcirco omnia ea, quorum est permutatio comparabilia esse quodam modo debent, ob quod numus in vsum venit, qui quodam modo medium efficitur: metitur enim omnia: quare etiam excessum & defectum: quot scilicet calcei domui, vel alimento æquales sint: oportet igitur quotus est ædificator, aut agricola ad sutorem, tot calceos ad domum, aut alimentum æquiparari. nisi enim ita sit, nec permutatio nec societas esse vllo modo poterit: id autem non erit, nisi æqualia omnia quodam modo inter se sint. oportet igitur, vt vno quodam sicut dictum est etiam prius, cuncta mensurentur. at id est re vera quidem indigentia, quæ omnia continet: nam si nulla re indigerent homines, aut non similiter, efficeretur vt vel non esset vlla omnino, vel non eadem permutatio. sed indigentia tamen loco ex pacto quasi substituitur numus. vnde etiam numisma appellatur, eò quòd non